φρουρῆσθαι τῷ τῶν πατέρων· ὥστε τὸ κατ᾽ ἐμαυτὸν ἀφεῖς. θρηνῶ
τοὺς ἄλλους τοὺς ἐναντίους· μέλη Χριστοῦ ποτε· μέλη τίμια ἐμοί. καὶ εἰ νῦν
διεφθαρμένα· μέλη τῆς ποίμνης ταύτης, ἣν προδεδώ-
κατε· μικροῦ καὶ πρὶν συναχθῆναι· ὑπὲρ ὧν ἠγωνίσασθέ τε καὶ διεσώ-
σατε· ὡς μοι ἴδια ἐκδοῦναι ἄμεινον· ὑπὲρ θυσιαστηρίου θυσιαστήρι-
ον ἀντηλλάξατε· ὑπὲρ ἀγρῶν ὄντες εἰς ἐρημίας σπήλαια· ὑπὲρ ὧν καὶ αὐτοὶ
νενεκρώσθε τῷ τότε καὶ ἀλλαγῆναι ἡμᾶς τοσοῦτοι ἥκατε· ὑπὲρ ὧν ἀπλό-
τητι ποιμένων· εἰς ποίμνης δὲ ἄλλης κατεχρήσασθε· οὐ γὰρ ἐ-
κείνους μέμφομαι τῆς ἀπειρίας, ἀλλ᾽ ὑμᾶς αἰτιῶμαι τῆς
κακίας· τὴν διαφθορὰν σου ἤδη, τίς βοηθήσει· τί φάρμακον
ἀρῶμαι συνουλωτικόν· ποῖον ἐπίδεσμον· ὑπὲρ ὧν αὐτὸς τὰ
διαιρῶνται· τίσι δάκρυσι· τίσι λόγοις· τίσιν εὐχαῖς θερα-
πεύσω τὸ σύντριμμα· ἢ τάχα, τὸν τρόπον τοῦτον· τρι-
άδα καὶ προσκυνητὴν τελείαν· καὶ καλῶς ὑφ᾽ ἡμῶν συνωρισμένην
τε καὶ σεβομένην· σὸν τὸ ἔργον· σὸν τὸ κατόρθωμα· σὺ τούτους
τε πάλιν ἀποκαταστήσας ἡμῖν, τοσοῦτον διαστάντας, ὅθεν
παρεδόθημεν ἀπὸ χωρισμοῦ τὴν ὁμόνοιαν. καὶ ἡ μὲν τῶν ἐν τέλει
μέχρι ἀντιδόσεως, ταῖς ὑπονοίαις τε καὶ φαντασίαις· τὸ δὲ αἴτιον τὸ
πρᾶον τοῦ καὶ μέτριον. ἐλλαμφθείη αἴσιον τελειότερον καὶ κα-
θαρώτερον· ὑπὲρ ἧς ἡ αὐτὴ καὶ μονὰς ἡ καὶ τριὰς εὑρίσκηται·
ὑπὲρ τὸ ἀγέννητον καὶ τὸ γεννητὸν καὶ τὸ προϊόν. μία δὲ ἐν ταῖς
ἰδιότησι· εἷς θεὸς ὁ ἐπὶ πάντων καὶ διὰ πάντων καὶ ἐν πᾶ-
σιν· οὔτε ὑπερτιθέμενος, οὔτε ὑποτιθέμενος· οὔτε μει-
ούμενος, οὔτε τεμνόμενος· τὸ μὲν ἄρτι καταλαμβανόμενος,
τὸ δὲ ζητούμενος· ποτὲ δὲ ὅσον εἰκὸς καταληφθησόμενος.
τοῖς ἐνταῦθα καλῶς ζητήσασι διὰ μέσου τῆς θεωρίας· ᾧ
πᾶσα τιμὴ κράτος, δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν:—

UNIVERSITÄTS-BIBLIOTHEK HEIDELBERG
BIBLIOTECA APOSTOLICA VATICANA
© Biblioteca Apostolica Vaticana
The Polonsky Foundation
https://digi.ub.uni-heidelberg.de/diglit/bav_pal_gr_218/0516